


Ὁ κόσμος

A Ποῦ οἰκοῦσιν οἱ θεοί; Οἱ θεοὶ ἐν τῷ Οὐρανῷ οἰκοῦσιν. Ποῦ οἰκοῦσιν οἱ ἄνθρωποι; Οἱ ἄνθρωποι καὶ τὰ ζῷα ἐν τῇ Γῇ οἰκοῦσιν. Ποῦ ἐστιν ἡ Γῆ; Ἡ Γῆ ἐν τῷ κόσμῳ ἐστίν. Καὶ ὁ Οὐρανός ἐν τῷ κόσμῳ κεῖται. Πῶς ἐστιν ὁ κόσμος; Ὁ κόσμος οὐ μικρός, ἀλλὰ μέγας ἐστίν. Ἐν τῷ κόσμῳ κεῖται ὁ Ἥλιος, κεῖται καὶ ὁ Χρόνος, κεῖνται ὁ Ἑρμῆς καὶ ἡ Ἀφροδίτη. Ὁ Ἥλιος μέγας ἐστίν. Καὶ ὁ Χρόνος μέγας ἐστιν. Μέγας ἐστιν ὁ Ἑρμῆς καὶ μεγάλη ἡ Ἀφροδίτη. Καὶ ἡ Σελήνη κεῖται ἐν τῷ κόσμῳ. Ἡ δὲ Σελήνη οὐ μεγάλη, ἀλλὰ μικρή ἐστιν.


Ἡ Γῆ οὐ μικρή, ἀλλὰ μεγάλη ἐστίν. Τρεῖς γὰρ ἤπειροι ἐν τῇ Γῇ εἰσιν· ἡ Εὐρώπη, ἡ Ἀσία καὶ ἡ Λιβύη. Καὶ δύο θάλασσαι ἐν τῇ Γῇ εἰσιν· ὁ Ὠκεανός, ἡ ἔξω θάλασσα, καὶ ἡ μεσόγειος, ἡ ἔσω θάλασσα. Ὁ Ὠκεανὸς μεγάλη θάλασσά ἐστιν. Ἡ δὲ μεσόγειος μικρή.


Ἐν τῇ μεσογείῳ θαλάσσῃ κεῖνται ἡ Ἰταλία, ἡ Σικελία καὶ ἡ Ἰβηρία. Ἆρ᾽ οὐκ ἔνεστιν καὶ ἡ Συρία ἐν τῇ μεσογείῳ θαλάσσῃ; Ναί, ἡ Συρία, ἡ Κυρηναϊκή καὶ ἡ Αἴγυπτος ἐν τῇ Μεσογείῳ θαλάσσῃ κεῖνται. Ἡ δὲ Συρία ἐν τῇ ἀνατολῇ ἐστιν, ὥσπερ ἡ Λυδία, ἡ Περσὶς καὶ ἡ Ἰνδία.

Καὶ ἡ Ἑλλὰς ἐν τῇ μεσογείῳ θαλάσσῃ κεῖται. Ἐν τῇ Ἑλλάδι πολλαὶ χῶραι ἔνεισιν· ἡ Ἀττική, ἡ Θεσσαλία, ἡ Βοιωτία, ἡ Πελοπόννησος, ἡ Μακεδωνία, ἡ Εὔβοια, ἡ Ἰωνία, ἡ Αἰολίς κτλ.


ὁ Ἥλιος


ἡ Σελήνη καὶ ἡ Γῆ


ἡ θάλασσα


ἡ Ἑλλάς

— Ποῦ; — ἐν ↓

-ος -ῳ	-α/-η -ῃ
ὁ κόσμος	ἡ γῆ
ἐν τῷ κόσμῳ	ἐν τῇ γῇ


κεῖται = ἐστιν

μικρός ἡ ↔ μέγας μεγάλη




κεῖνται = εἰσίν

ἔσω ἔξω



— ἆρα οὐ; — ναί !

ἔνεστιν· ἐν + ἐστίν


ἡ ἀνατολή

ἡ Ἑλλάς
ἐν τῇ Ἑλλάδι

ἡ χώρα, αἱ χῶραι

κ(αὶ) τ(ὰ) λ(οιπά)

Ἐν πάσῃ ἑλληνικῇ χώρᾳ οὐκ ὀλίγαι, ἀλλὰ πολλαὶ πόλεις εἰσίν· Ἀθῆναι ἐν τῇ Ἀττικῇ, Σπάρτη καὶ Κόρινθος ἐν τῇ Πελοποννήσῳ, Θῆβαι ἐν τῇ Βοιωτίᾳ, Γνωσσὸς ἐν τῇ Κρήτῃ, Πέλλη ἐν τῇ Μακεδωνίᾳ, Σμύρνη ἐν τῇ Ἰωνίᾳ, Μυτιλήνη ἐν τῇ Αἰολίδι κτλ.

Ἐν τῇ μεσογείῳ θαλάσσῃ ἄλλαι ἑλληνικαὶ πόλεις καὶ ἀποικίαι εἰσίν· Μασσαλία ἐν τῇ Γαλλίᾳ, Ἐμπόριον ἐν τῇ Ἰβηρίᾳ, Συρακούσαι ἐν τῇ Ἰταλίᾳ, Κυρήνη ἐν τῇ Λιβύῃ, Ἀλεξάνδρεια ἐν τῇ Αἰγύπτῳ, Σμύρνη ἐν τῇ Ἰωνίᾳ, Μυτιλήνη ἐν τῇ Λέσβῳ κτλ.

Τί ἐστιν ἡ Λέσβος; ἡ Λέσβος νῆσός ἐστιν. Ποῦ κεῖται ἡ Λέσβος; Ἡ Λέσβος ἐν τῇ Αἰολίδι κεῖται. Ἐν τίνι θαλάσσᾳ κεῖται ἡ Λέσβος; Ἡ Λέσβος κεῖται ἐν τῷ Αἰγαίῳ πελάγῳ. Καὶ ἡ Εὔβοια καὶ ἡ Κρήτη νῆσοι μεγάλαι ἐν τῷ Αἰγαίῳ πελάγῳ εἰσίν. Ἆρ᾽ οὐκ ἔστι καὶ ἡ Κύπρος μεγάλη ἑλληνικὴ νῆσος; Ναί, ἡ Κύπρος, ἡ Κρήτη καὶ ἡ Εὔβοια τρεῖς μεγάλαι ἑλληνικαί νῆσοί εἰσιν. Ἡ δὲ Λέσβος οὐ μεγάλη, ἀλλὰ μικρὴ νῆσός ἐστιν. Καὶ ἡ Ῥόδος καὶ ἡ Λῆμνος οὐ πολὺ μεγάλαι νῆσοί εἰσιν. Ἡ δὲ Θάσος, ἡ Χῖος καὶ ἡ Σάμος πολὺ μικραὶ νῆσοι ἐν τῷ Αἰγαίῳ πελάγῳ εἰσίν.

Ἆρ᾽ οὐκ εἰσὶ καὶ ἄλλαι μικραὶ ἑλληνικαὶ νῆσοι ἐν τῷ Αἰγαίῳ πελάγῳ; Καὶ μάλα, αἱ Κυκλάδες νῆσοι· ἡ Μύκονος, ἡ Ἄνδρος, ἡ Νάξος, ἡ Πάρος, ἡ Δῆλος, ἡ Τῆνος κτλ.

Ἆρ᾽ οὐκ εἰσὶ καὶ ἄλλαι νῆσοι ἐν τῇ Ἑλλάδι; Καὶ μάλα, ἐν τῇ Ἰωνικῇ θαλάσσῃ καὶ ἄλλαι ἑλληνικαὶ νῆσοί εἰσιν· ἡ Ἰθάκη, ἡ Κεφαλλήνια, ἡ Ζάκυνθος, κτλ. Αἱ οὖν ἑλληνικαὶ νῆσοι πολλαί εἰσιν.


Ἐν τῇ Ἑλλάδι πολλοὶ βουνοί εἰσιν, ὥπερ ὁ Ὄλυμπος ἐν τῇ Θεσσαλίᾳ, ὁ Παρνασσός καὶ ὁ Ἑλλικὼν ἐν τῇ Βοιωτίᾳ, ἡ Ἴδα ἐν τῇ Κρήτῃ καὶ ὁ Ὑμηττός ἐν τῇ Ἀττικῇ. Οἱ δὲ ποταμοὶ οὐ πολλοί εἰσιν· ὁ Ἀξειὸς ἐν τῇ Μακεδονίᾳ, ὁ Νέστος ἐν τῇ Θράκῃ, ὁ Ἀλφειὸς ἐν τῇ Πελοποννήσῳ κτλ. Ὁ Ἀξειὸς ποταμός οὐ μέγας, ἀλλὰ μικρός ἐστιν. Καὶ ὁ Νέστος καὶ ὁ Ἀλφειὸς ποταμοὶ μικροί εἰσιν.

πᾶσα ↔ οὐδεμία

ἡ πόλις, αἱ πόλεις

ἡ Αἰολίς
ἐν τῇ Αἰολίδι

ἀποικία ↔ μητρόπολις




ἡ νῆσος αἱ νῆσοι

Τί;
Ἐν τίνι ;

τὸ πέλαγος ·
μεγάλη θάλασσα

πολύ ↔ ὀλίγον

καί μάλα = ναί



ὁ βουνός



ὁ ποταμός

B Τίνες οἰκοῦσιν ἐν τῇ ἑλληνικῇ γῇ; Οἱ Ἕλληνες ἐν τῇ Ἑλλάδι οἰκοῦσιν· οἱ Βοιώτιοι ἐν τῇ Βοιωτίᾳ, οἱ Κορίνθιοι ἐν τῇ Κορίνθῳ, οἱ Θεσσαλοὶ ἐν τῇ Θεσσαλίᾳ, οἱ Πελοποννήσιοι ἐν τῇ Πελοποννήσῳ, οἱ Σμυρναῖοι ἐν τῇ Σμύρνῃ, οἱ Πάριοι ἐν τῇ Πάρῳ, οἱ Σάμιοι ἐν τῇ Σάμῳ, οἱ Μακεδόνες ἐν τῇ Μακεδονίᾳ, κτλ.

Ἆρα καὶ οἱ Μακεδόνες Ἕλληνές εἰσιν; Καὶ μάλα, οἱ Μακεδόνες Ἕλληνές εἰσιν, ὥσπερ ὁ στραγηγὸς Ἀλέξανδρος. Ὁ Μέγας Ἀλέξανδρος ἐν τῇ Μακεδονίᾳ οἰκεῖ καὶ τῇ ἑλληνικῇ γλώσσᾳ λαλεῖ. Πᾶς Ἕλλην τῇ ἑλληνικῇ γλώσσᾳ λαλεῖ. Πάντες οὖν οἱ Ἕλληνες – Βοιώτιοι, Κορίνθιοι, Θεσσαλοί, Πελοποννήσιοι, Σμυρναῖοι, Πάριοι, Σάμιοι, Ἀθηναῖοι, κτλ.–, ἑλληνικῶς λαλοῦσιν.

Ἆρ᾽ οὐ λαλοῦσι τῇ ἑλληνικῇ γλώσσᾳ ἐν τῇ Κύπρῳ; Καὶ μάλα, πάντες οἱ Κύπροι τῇ ἑλληνικῇ φωνῇ λαλοῦσιν. Ἡ γὰρ Κύπρος ἐν τῇ Ἑλλάδι ἐστιν. Ἐν τῇ Ἑλλάδι οὐδεὶς ὅστις τῇ ἑλληνικῇ γλώσσᾳ οὐ λαλεῖ. Πᾶσα οὖν χώρα ἐν τῇ Ἑλλάδι ἑλληνίζει.

Καὶ πάσαι αἱ χώραι ἐν τῇ Ἰωνία ἑλληνίζουσιν. Ἡ Ἰωνία βάρβαρος χώρα οὐκ ἐστίν, ἀλλὰ ἑλληνική. Καὶ ἡ Αἰολίς ἑλληνικὴ χώρα ἐστίν, τῇ γὰρ αἰολικῇ διαλέκτῳ λαλοῦσιν. Ἆρ᾽ εἰσιν ἐν τῇ Ἑλλάδι καὶ αἱ διάλεκτοι; Καὶ μάλα, ἐν τῇ Ἑλλάδι πολλαὶ διάλεκτοί εἰσιν, ὥσπερ ἡ ἀττικὴ διάλεκτος ἐν τῇ Ἀττικῇ, ἡ αἰολικὴ διάλεκτος ἐν τῇ Αἰολίδι, ἡ ἰωνικὴ διάλεκτος ἐν τῇ Ἰωνίᾳ καὶ ἡ δωρικὴ διάλεκτος ἐν τῇ Κρήτῃ καὶ ἐν τῷ Πελοποννήσῳ. Οἱ οὖν Ἀθηναῖοι ἀττικίζουσιν, τῇ γὰρ ἀττικῇ διαλέκτῳ λαλοῦσιν. Οἱ οὖν Λέσβιοι αἰολίζουσιν, οἱ Σάμιοι ἰωνίζουσι καὶ οἱ Πελοποννήσιοι δωρίζουσιν.

Ἆρα μὴ λαλοῦσιν ἑλληνικῶς ἐν τῇ Αἰγύπτῳ; Οὐδαμῶς, οἱ Αἴγυπτιοι, οἱ Σύριοι καὶ ἄλλοι λαοὶ ἐν τῇ ἀνατολῇ, ὥσπερ οἱ Πέρσαι, οὐ λαλοῦσι τῇ ἑλληνικῇ φωνῇ, βάρβαροι γάρ εἰσιν. Βάρβαροι οὖν εἰσιν οἱ ἄνθρωποι οἵτινες "βάρ-βάρ" λέγουσιν. Καὶ οἱ Μῆδοι οὐ Ἕλληνες, ἀλλὰ ξένοι ἄνθρωποι ἐν τῇ ἀνατολῇ εἰσιν. Ἡ γὰρ Μηδία ξένη χώρα ἐστίν. Οἱ οὖν Αἴγυπτοι, οἱ Σύροι, οἱ Πέρσαι καὶ οἱ Μῆδοι βαρβαρίζουσιν.

Τίς; Τίνες;

ὁ Μακεδών οἱ Μακεδόνες

οἰκεῖ οἰκοῦσιν

λαλεῖ λαλοῦσιν

ὁ Ἕλλην οἱ Ἕλληνες

πᾶς ὁ Ἕλλην
πάντες οἱ Ἕλληνες

ἑλληνικῶς λαλοῦσιν =
τῇ ἑλληνικῇ γλῶσσᾳ
λαλοῦσιν = ἑλληνίζουσιν

φωνή· γλῶσσα

πάντες (οἱ ἄνθρωποι) ↔
οὐδείς (ἄνθρωπος)

οὐδείς (ἐστιν) ὅστις

βάρβαρος ↔ ἑλληνικός

ἡ διάλεκτος ·
ἡ φωνή ἐν πάσῃ ἑλληνικῇ
χώρᾳ

—ἆρα μή; — οὐδαμῶς!

(ἄνθρωπος) ὅστις
(ἄνθρωποι) οἵτινες

ὁ λαός · ἄνθρωποι οἵτινες
ἐν πάσῃ χώρᾳ οἰκοῦσιν

Ἕλλην ↔ξένος (ἄνθρωπος)

ἑλληνίζω ↔ βαρβαρίζω

Ἆρ᾽ ἡ ἑλληνικὴ γλῶσσα χαλεπή ἐστιν; Καὶ μάλα, ἡ ἑλληνικὴ γλῶσσα οὐ ῥᾳδία, ἀλλὰ χαλεπή ἐστιν. Ἡ ἑλληνικὴ γλῶσσα χαλεπὴ μέν ἐστιν, καλὴ δέ. *Χαλεπὰ τὰ καλά*, ὥσπερ λέγει ἡ ἑλληνικὴ παροιμία. Διὰ ταῦτα πολλοὶ ἄνθρωποι ἐν τῇ οἰκουμένῃ ἑλληνίζουσιν.

χαλεπός ↔ ῥᾴδιος

ἡ οἰκουμένη (γῆ)· ἡ Ἑλλάς καὶ πᾶσα χώρα ἐν τῇ γῇ

Γραμματική

ΚΛΙΣΙΣ

Πρῶτη κλίσις· *Ἰταλία, Ἀττική, θάλασσα, πᾶση, χώρα* (γένος θηλυκόν)

Δεύτερα κλίσις· *λαός, κόσμος* (γένος ἀρσενικόν), *νῆσος, Μεσόγειος, ἤπειρος* (γένος θηλυκόν), *Ἐμπόριον* (γένος οὐδέτερον)

Τρίτη κλίσις· *Ἑλλάς, Περσίς, Αἰολίς, πόλις* (γένος θηλυκόν), *Ἕλλην, Μακεδών* (γένος ἀρσενικόν)

ΠΤΩΣΙΣ

Ὀνομαστική·

ἄρθρον· *ἡ, ὁ, τό* (ἐνικὸς ἀριθμός)
αἱ, οἱ, τά (πληθυντικὸς ἀριθμός)

ὀνόματα· *Ἰταλία, θάλασσα, χώρα, Ἀττική, Ἀθῆναι*
λαός, κόσμος, νήσος, Ἐμπόριον
Ἑλλάς, Περσίς

ἐπίθετα· *μικρή, μεγάλη, πᾶσα, ῥᾳδία*
μέγας, βάρβαρος, μεσόγειος

Δοτική·

Ἄρθρον· *τῇ* (γένος θυληκόν).
τῷ (γένος ἀρσενικὸν καὶ οὐδέτερον)

Ὀνόματα· πρῶτη κλίσις· *Ἰταλίᾳ, Ἀττικῇ, θαλάσσῃ, χώρᾳ χώραις, Ἀθῆναις*
δεύτερα κλίσις· *λαῷ, νήσῳ,*
τρίτη κλίσις· *Ἑλλάδι, Περσίδι*

Ἐπίθετα· πρῶτη κλίσις· *μικρῇ, μεγάλῃ, πάσῃ, ῥᾳδίᾳ.*
δεύτερα κλίσις· *βαρβάρῳ, Μεσογείῳ.*

ΕΠΙΘΕΤΑ

ἑλληνικός ἑλληνική, ξένος ξένη.
μεσόγειος μεσόγειον, βάρβαρος βάρβαρον.
μέγας μεγάλη.
πᾶς πᾶσα.

ΡΗΜΑΤΑ

Α΄ Συζηγία (–ω)

Συνηρημένα· *οἰκεῖ, λαλεῖ* (ἐνικός ἀριθμός).

οἰκοῦσιν, λαλοῦσιν (πληθυντικὸς ἀριθμός).

Ἀσυνήρετα· *ἀττικίζουσιν, λέγουσιν, ἑλληνίζουσιν* (πληθυντικὸς ἀριθμός).

Β΄ Συζυγία (–μι)

ἐστί, κεῖται (ἑνικὸς ἀριθμός).

εἰσίν, κεῖνται (πληθυντικός ἀριθμός).

ΑΝΤΩΝΥΜΙΑΙ

Ἐρωτηματικαί· *Τίς; Τίνες;* (ἑνικὸς καὶ πληθυντικὸς ἀριθμός).

Ἀναφορικαί· *ὅστις οἵτινες* (ἑνικὸς καὶ πληθυντικὸς ἀριθμός).

Ἀόρισται· *πᾶς πᾶσα* (ἑνικὸς ἀριθμός, γένος ἀρσενικὸν καὶ θυληκόν).

οὐδείς οὐδεμία (ἑνικὸς ἀριθμός, γένος ἀρσενικὸν καὶ θυληκόν).

ΠΡΟΘΕΣΙΣ + Δοτική· ἐν.

Ἄσκησις Α

1. Ἡ Γῆ οὐ μικρ__ , ἀλλὰ μεγάλ__ ἐστίν.
2. Ἡ ἔξω θάλασσ__ ὁ Ὠκεανός ἐστιν.
3. Ὁ Ὠκεανὸς οὐ μικρός, ἀλλὰ μέγας ποταμ___ ἐστιν.
4. Ἡ ἔσω θάλασσ__ ἐστιν ἡ μεσόγειος θάλασσα.
5. Ἡ Ἀττικὴ χώρ__ ἐστίν ἐν τῇ Ἑλλάδι.
6. Ἡ Ἀττικ__ καὶ ἡ Πελοπόννησος χώρ__ εἰσίν ἐν τ__ Ἑλλάδι.
7. Ὁ ποταμὸς Νεῖλος ἐν τῇ Αἰγύπτ__ κεῖται.
8. Ἡ Κυρήνη οὐκ ἐν τῇ Εὐρώπ__, ἀλλὰ ἐν τῇ Λιβύ__ ἐστίν.
9. Ἡ Ἴδα βουν__ μέγας ἐν τῇ Κρήτ__ ἐστίν.
10. Ἡ νῆσος Κύπρ__ μεγάλη ἐστίν.
11. Ἡ Κρήτ__ καὶ ἡ Κύπρος εἰσίν μεγάλ___ νῆσοι.
12. __ Λέσβος οὐ ποταμός, ἀλλὰ μικρ__ νῆσός ἐστιν.
13. Ἡ Λέσβος καὶ ἡ Νάξος εἰσίν μικρ__ νῆσοι ἐν τῇ Μεσογεί__ θαλάσσ__ .
14. Ὁ Ὄλυμπ__ οὐ νῆσός ἐστιν, ἀλλὰ βουν___ .
15. Οἱ Ἕλληνες οἰκ______ ἐν τῇ Ἑλλάδι.
16. Οἱ Ἕλληνες ἑλληνίζ_____ .
17. Οἱ Ἀθηναῖοι ἀττικίζ_____ .
18. Οἱ Κορίνθιοι ἐν τ__ Κορίνθ___ οἰκ________.
19. Ἐν τ__ ἑλληνικ__ γῇ πολλ__ πόλεις εἰσίν.
20. ____ Αἰγύπτιοι οὐκ ἐν τῇ Συρί__, ἀλλὰ ἐν τῇ Αἰγύπτῳ οἰκ_____ .
21. Οἱ Αἰγύπτι__ οὐ ἐλληνίζ_____ . "Βαρ-βαρ" λέγ______ .
22. Ὁ Μέγ__ Ἀλέξανδρος τῇ ἑλληνικ__ γλώσσᾳ λαλ___.

23. Ἡ Ἄνδρος ἑλληνικ__ νῆσός ἐστιν.
24. __ Ἄνδρος καὶ __ Νάξος ἐν τῷ Αἰγαί__ πελάγ__ κεῖνται.
25. Ἡ Ῥόδος οὐ ποταμ__, ἀλλὰ νῆσός ἐστιν.
26. Οἱ Ῥοδι__ τῇ δωρικ__ διαλέκτ__ λαλοῦσιν.
27. Ἡ ἑλληνικὴ φωνὴ οὐ χαλεπ__ , ἀλλὰ ῥᾳδί__ ἐστίν.
28. Ὁ Πλάτων τῇ ἀττικ__ διαλέκτ__ λαλ__.
29. Πολλ__ διάλετοι ἐν τῇ Ἑλλάδι εἰσίν.
30. Ἡ Σμύρνη οὐκ ἐν τῇ Ἀττικ__, ἀλλὰ ἐν τῇ Ἰωνί__ ἐστίν.
31. Οἱ Ἕλληνες ἐν τῇ Σμύρν__ καὶ ἐν τῇ νήσ__ Λέσβ__ ἑλληνίζ_____ καὶ αἰολίζ_____.

Ἄσκησις Β

1. Ὁ κόσμος οὐ ______, ἀλλὰ ______ ἐστιν.
2. Ἡ Ἀφροδίτη καὶ ὁ Ἑρμῆς ____ τῷ κόσμῳ εἰσιν.
3. Ἡ ________, ἡ _________ καὶ ὁ Οὐρανὸς ἐν τῇ _______ κεῖνται.
4. Ἡ Γῆ οὐ __________, ἀλλὰ ___________ ἐστιν.
5. Ἡ Εὐρώπη ________ ἐστιν ἐν τῇ Γῇ.
6. Ἡ Ἑλλὰς χώρα ἐν τῇ _________ ἐστιν.
7. Ἡ Κρήτη νῆσος οὐ ____________, ἀλλὰ μεγάλη ἐστιν.
8. Ὁ Ὄλυμπος μέγας ___________ ἐν τῇ Ἑλλάδι ἐστίν.
9. Ὁ Ἀξειὸς ἑλληνικὸς ______________ ἐστιν ἐν τῇ Μακεδονίᾳ.
10. Ἡ Εὔβοια νῆσός ἐστιν ἐν τῷ Αἰγαίῳ _____________.
11. Ὁ ἑλληνικὸς ________ ἑλληνίζει.
12. Οἱ Μακεδόνες οὐ __________ , ἀλλὰ Ἕλληνές εἰσιν.
13. Ὁ ______ Ἀλέξανδρος ἐν τῇ __________ οἰκεῖ καὶ τῇ ἑλληνικῇ γλώσσᾳ _________.
14. Ἡ Μακεδονία οὐ _________, ἀλλὰ ἑλληνικὴ _________ἐστίν.
15. Οἱ __________ οὐκ ἐν τῇ Μακεδονίᾳ ____________, ἀλλὰ ἐν τῇ Ἀττικῇ.
16. Ἡ Σμύρνη ἑλληνικὴ _______ ἐν τῇ Αἰολίδι ἐστίν.
17. Ἡ Κρήτη ἐν τῇ ______________ θαλάσσᾳ ἐστίν.
18. Ἡ Ῥόδος __________ ἐστιν.
19. Ἐν τῇ Ἑλλάδι πολλαὶ _________ εἰσιν, ὥσπερ ἡ ἀττική, ἡ ἰωνικὴ καὶ ἡ δωρική. Ἐν _____ ἑλληνικῇ χώρᾳ ἑλληνικὴ _________ ἐστιν.
20. Οἱ ___________ ἐν τῇ χώρᾳ Ἰωνικῇ τῇ ἰωνικῇ ________ λαλοῦσιν.
21. Οἱ Σύριοι ἐν τῇ __________ οἰκοῦσι καὶ τῇ ἑλληνικῇ φωνῇ οὐ λαλοῦσιν. Καὶ οἱ Αἰγύπτιοι ἐν τῇ ___________ οἰκοῦσιν καὶ οὐχ ___________ .
22. _____ μὲν Ἕλλην ἑλληνίζει. Πᾶς δὲ βάρβαρος “βαρ-βαρ” ______.
23. Οἱ Σύριοι καὶ οἱ Πέρσαι ἄνθρωποί εἰσιν οἵτινες “βαρ-βαρ” ________ .

Νέον λεξιλόγιον

μέγας μεγάλη
μικρός ή
ἑλληνικός ή
χαλεπός ή
ῥᾴδιος α
βάρβαρος ον
ξένος η
ὅστις οἵτινες
πᾶς πᾶσα
οὐδείς οὐδεμία

ἐν

ὁ κόσμος
ὁ οὐρανός
ἡ γῆ
ἡ θάλασσα
ἡ νῆσος
τὸ πέλαγος
ἡ ἤπειρος
ὁ βουνός
ἡ Μεσόγειος
ὁ ποταμός
ἡ χώρα
ἡ ἤπειρος
ἡ πόλις
ἡ ἀποικία
ἡ γλῶσσα
ἡ φωνή
ἡ διάλεκτος
ἡ παροιμία

24. Τὸ Ἐμπόριον μικρὴ ______________ ἐν τῇ ______________ ἐστίν.
25. ________ οἱ Ἕλληνες τῇ ἑλληνικῇ ______ λαλοῦσιν.
26. Ἐν τῇ Ἀττικῇ οἱ ____________ ἀττικίζουσιν.
27. "Πᾶς μὴ Ἕλλην βάρβαρος" ἑλληνική ________ ἐστίν.
28. Οὐ πάντες οἱ Αἰγύπτοι _________ εἰσίν. Ὀλίγοι μὲν ἑλληνίζουσι, ὀλίγοι δὲ __________ .
29. Ἐν τῇ Περσίδι _______ ἄνθρωπος μὴ βάρβαρός ἐστίν.
30. Ἐν τῇ Περσίδι οὐδεὶς _________ τῇ ἑλληνικῇ γλώσσᾳ λαλεῖ.
31. _____ γλῶσσα χαλεπή, _____ ῥᾳδία ἐστίν.

ἡ Ἑλλάς
ὁ Ἕλλην
οἱ Ἕλληνες
ὁ Ἀθηναῖος
οἱ Ἀθηναῖοι
ἡ Εὐρώπη
ἡ Μακεδονία
ἡ Ἀσία
ἡ Ἰωνία
ἡ Αἰολίς
ἡ ἀνατολή
ἡ Ἰβηρία
ὁ λαός

λαλεῖ -οῦσι
λέγει -ουσι
οἰκεῖ -οῦσι
ἑλληνίζει -ουσιν
βαρβαρίζει -ουσιν
ἔνεστιν
κεῖται κεῖνται

Ἄσκησις Γ

1. Ποῦ κεῖται ἡ Ἀφροδίτη;
____
2. Ἆρ᾽ ὁ κόσμος μικρός ἐστιν;
____
3. Ποῦ κεῖται ἡ Ἑλλάς;
____
4. Πῶς ἐστιν ἡ μεσόγειος θάλασσα;
____
5. Ποῦ εἰσιν ἡ Συρία καὶ ἡ Αἴγυπτος;
____
6. Ἐν τίνι θαλάσσῃ ἐστίν ἡ Ἰθάκη νῆσος ;
____
7. Ἐν τίνι χώρᾳ ἐστίν ἡ Σπάρτη;
____
8. Ποῦ ἐστιν ἡ Μακεδονία;
____
9. Τί ἐστιν ἡ Εὔβοια;
____
10. Τί ἐστιν ὁ Ὄλυμπος;
____
11. Τίνες ἑλληνίζουσιν;
____
12. Ποῦ οἰκοῦσιν οἱ Κορίνθιοι;
____
13. Τίνες χῶραι ἐν τῇ ἀνατολῇ εἰσιν;
____
14. Ἆρα καὶ οἱ Αἰγύπτιοι ἑλληνίζουσιν;
____
15. Τίνες οὖν βαρβαρίζουσιν;
____